8°
V ol

AB
129209

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0001-1

V d
92
8°

100

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0003-3

L 89,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0004-8

# Anacreon Christianus Rhythmicus:

*Hoc est,*

# CANTICUM

Canticorum Salomonis Græco Anacreontico Carmine, & eo qvidem Rhythmico traductum studio atqve opera

M. GEORGII LEUSCHNERI Coldicensis, Scholæ Patriæ Moderatoris.

*ANNO*

*M. DC. L.*

---

LIPSIÆ,
*Typis Hæredum Timothei Hönii.*

Bibliothek der Regierung zu Merseburg

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0005-4

*SERENISSIMIS ET CELSISSIMIS PRINCIPIBUS AC DOMINIS.*

DN. CHRISTIANO, & DN. MAURITIO

Fratribus germanis, Ducibus Saxoniæ, Juliæ, Cliviæ & Montium, Landgraviis Thuringiæ, Marchionibus Misniæ & Lusatiæ, Comitibus de Marca & Ravensburg, Dominis in Ravenstein, Dominis suis clementissimis, jã Divino beneficio illustrissimis SPONSIS

Author precatur omnem medullitùs salutem.

O PRINCIPUM PIORUM
Par forte juniorum:
Qvos optimi Parentis
Septemviri potentis
Feliciter regentis
Jam Saxonas, Tonantis
Faven-

UNIV.- UND LANDESBIBLIOTHEK HALLE (SAALE)
AB: A29269

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0006-0

Favente Regis aurâ,
Eduxit alma cura
Ad principalis omnes
Virtutis actiones.
O CHRISTIANE verè
Sic dicte, MAURITIqve,
Flos ambo vos virorum
Juvenum decusqve honorum;
Vestræ faci jugali,
Festoqve Nuptiali,
Qvid carminis feremus?
Qvæ metra concinemus?
Qvibus modis & ejus
Decorabimus paratus,
Vestro piè faventes
Et Nomini studentes?
Juvat sacris vacare
Animoqve pensitare
Jam carmen hocce rarum,
Piis subinde charum;
Deo regente mentem
Per Spiritum potentem,
Salomon qvod edolavit,
Ecclesiæ dicavit

Salomonis ipſe verē,
Qvot ſunt, erunt, fuêre
Aliis & his in oris,
Qvi laudibus lepôris
Reconditæqve donis
Suæ eruditionis
In orbe vicit omnes
Scientiâ valentes.
En Carmen hocce rarum
Piis ſubinde charum,
Ut maximè decorum,
Et inde canticorum
Benè Canticum vocatum,
Cunctis bonis probatum,
Placet hîc Anacreontis
Accommodare nervis,
Ac more Chriſtiano,
Sic abſtinere vano,
& applicare dantis
Id ad decus Tonantis,
Patrisque nos creantis,
Natiqve liberantis,
Et Spiritus ſacrati,
Ex qvo ſumus beati.

Qva-

Qvapropter hunc libellum,
Parvum licet tenellum,
Qvi Teiisqve nervis
Salomoniisqve verbis,
Ecclesiæ gementis
Christiqve lenientis
Svavissimos lepores
Et fervidos amores
Decantitat levamen
Volens dare, & gravamen
Tenax in orbe passis
Commitigare lassis:
Hunc ergo jam libellum
Parvum licet tenellum,
Animo piè favente
Manúqve perlibente
Capiatis, oro; vati
Acerbitate fati
Hucusqve sæpe presso,
Seniiqve sorte fesso,
Puertiæ docendæ
Qvi tempus omne vitæ
Ferè dedi, Patroni
Faciles & este proni,

O Principes sereni
Ducesqve perbenigni,
Sponsiqve nunc amati,
Ubiqve prædicati,
Pietate qvippe sanctâ,
Integritate, cunctâ
Virtute prænitentes
Et admodum valentes.
Sic, sic beet JEHOVA
Vestros Thoros in æva
Pacis suavitate
Summaqve faustitate.
DUCUM Pari beato,
Ad summa cuncta nato,
Submissiore mente,
Reverentiâ decente,
Hæc fervidè canebat
Et candidè vovebat,
Thalami pii paratus
Et festa comprecatus
Perlæta, de medullis
Penitissimisqve fibris.

*M. Georgius Leuschnerus Scholæ Colditiensis Moderator.*

ΠΡΟ-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0010-1

## ΠΡΟΑΙΣΜΑ.

Κέλεται Ἀδὰμ παλαιὸς
Κέλεται κακός με κόσμος,
Κέλεται Σατὰν πανοῦργος,
ᾄδειν ποθεινὰ σαρκί.
ᾄδειν ἀρεστὰ πλήθει,
ᾄδειν τὰ χαρτὰ ᾄδῃ.
Ὁ δέ με πνόος θεουδὴς,
Καὶ ἡ γραφὴ ἀκαμπὴς,
Κήρυξ τε χριστομύστης
Κέλεται τὰ νεῦρ' ἀμείπτειν,
Θεῷ βδελυκτὰ φεύγειν,
Ἁγίων κέλευθα τέμνειν.
Φρονεῖν μόνον τὰ θεῖα,
λέγειν μόνον τὰ ἱερὰ,
Ποιεῖν μόνον δίκαια.
Καί φασί μοι. εἰ ἁβρὰ
Ζητεῖς ἀγαστὰ, τερπνὰ,
Ἀναπαύσεώς τε πλεῖα,
Λάβ' ἀοιδέων ἀοιδὴν,
Θαλαμηΐων ἀρίστην,
Φιλητικῶν φιλίστην,
Βασιλευτάτου ἀνάκτων,
Σοφωτάτου σοφώντων

Κορυφῆς τενχνεχόντων.
Τοθι πάντ᾽ ἄχη ἔρυκε.
Θυμόν τέ σευ ἔπαιρε.
Καὶ κῆρ γάμῳ ἴαινε
Χριςοῦ καλεγγυοῦντος,
Χριςοῦ συνοικέοντος,
Χριςοῖο προσλαλοῦντος.
Χέλυς ἤδ᾽ ὂν οὔτι τέρψει,
Ὅδε σῖτος οὐ κορέσσει,
Ἤδ᾽ οὐ ποτῆς μεθύσει,
Σὺν κόσμῳ αἰσχρὰ κεράξῃ,
Τὸ παρθένιον βοήσῃ,
Καὶ σὺν Σατᾶνι κλαύσῃ.
Αἴσω ἐγὼ κτίσαντι
Μὲ Θεῷ, καὶ ἐκλύσαντι,
Καὶ τῷ καθαγνίσαντι,
Οἴκοι σὺν οἷσι κούροις,
Θύρηφι σὺν θ᾽ ἑταίροις.
Ἐν ἱερῷ σὺν ἱεροῖς,
Ἴν᾽ ἀεί ποτ᾽ ἐν πόλοισιν
Αἴσω σὺν ἀγγέλοισιν,
Καὶ πᾶσιν ἐκκρίτοισιν.

# ὙΠΟΘΕΣΙΣ.

Τόδ' ᾆσμα κάρτα τερπνοῖς
Διδάσκει ἄμμε μύθοις.
Ὅσον θεοῖο υἱὸς,
Πάντων ἄναξ μέγιστος,
Ἐκκλησίην ταλαίνην,
Πειθήμον' ἑῖο νύμφην,
Μέλη τε τῆσδε πάντα,
Ἐὰν οἱ ἔμεινε πιστά,
Ἀγαπᾷ τε καὶ γεραίρει,
Διέπει τε καὶ κομίζει:
Ὅσον ἔμπαλιν καὶ αὐτὸν
Ἓο νυμφίον φέριστον,
Βασιλῆα καὶ λυτρωτὴν,
Καὶ πὰρ θεῷ μεσίτην
Ποθέει, φιλεῖ κλεΐζει,
Ἀσπάζετ' ἀμφιβάλλει
Θεοσκυνοῦσα λεκτή.
Παλιγγενὴς γενέθλη.
Ἣ καὶ θεῷ πεποιθὼς,
Τῶν εὐσεβῶν ἕκαστος.
Ἐὰν οὖν σὺ τοῦδε ῥυθμοὺς
Μέλους μελῶν ἀναγνῷς.
Ἐπὶ χρηστότητι Χριστοῦ

Γηθῶν τεοῖο ῥύσει,
ἐκ νειάτης ἐς αἰεὶ
Φρενὸς αὐτῷ εὐχαρίσει.

# ᾎΣΜΑ ᾈΣΜΑΤΩΝ.

## ΚΕΦΑΛ. α.

Ἐκκλησία. Μελέης ἐμῆ παρειῇ
ἐὰ προσβάλοι τὰ χείλη,
Ὁ νυμφίος φίλιστος,
Ὁ κοιράνων μέγιστος.
Χάρις ὅτι τοῖο μαςῶν
ςαφυλῆς δρόσοιο κρείττων
φυσίζοος δ' ὀρώρῃ
Σέο βαλσάμων ὀδωδή.
Μύρον οἷον ἐκκενωθὲν,
Ὄνομα κλυτόν σευ ἔπλεν,
Διὰ τοῦτο καὶ μάλ' εὔνουν
Νεάνιδές σ' ἐφίλουν
Μὲ ἕλκε σευ ὀπίσσω.
Ποσί σοι σπόμεσθα κραιπνῶ.
ἐς ἑὸν ταμεῖον ἦγε
Βασιλεὺς χερὸς λαβών με
ἐν σοὶ δ' ἀγαλλιῶσαι
Γεγήθαμεν παροῦσαι.
Σεῦ μνωόμεσθα μαζῶν,

Ὅνυ πλέον κυπέλλων.
Σὺ προσφιλὴς ἅπασιν,
ἰθεῖαν οἵ ἴασιν.
αὐτοθερῶς δ' ἐγώνη
Φήμ' ἔμμεναι μελαίνη.
ἀτὰρ αὖτε καὶ μεγήρης,
Σολύμης θύγατρες ἱρῆς.
σκηνῆσι Κηδὰρ ἴση,
Σολομῶντος ἢ τάπησι.
Μὲ μὴ εἰσίδητέ, φημι,
Μελανουμένη ὅτ', εἰμι.
ἀκτῖνες αἱ θοοῖο
ἐμ' ἔκαυσαν ἠλίοιο.
Μαχέσαντό μοι οἱ ἄνδρες
Ὁμογάστριοι ἐόντες.
Φυλάκιοσαν οἶδε κοινῶν
ἐμ' ἔθηκαν ἀμπελώνων.
ἀτὰρ οὐκ ἐγὼ ἀλωὰς
ἐφύλαξα τὰς δοθείσας.
ἄγγειλον, ὦ ἐπόπτα,
περὶ κῆρ τὸν φίλησα
Ποῦ ἄρτι μοι νομεύεις;
Ποῦ ἐνδιῶν ἰαύεις;
Κεκαλυμμένη ὅπως μὴ

Διαφοιτάω ματαίη.
Σπομένη σέθεν φιλίςων
Ἀγέλησι τῶν ἑταίρων.

Χριςὸς. Ἐὰν ἀγνοῇς σε, πασῶν
Ὦ δῖα τῶν γυναικῶν,
Ἔξελθε, καὶ κατ' ἴχνη
Τῶν ποιμνίων σὺ βῆθι,
Ἐρίφες τε βόσκε τὰς σὰς
Παρὰ ποιμένων καλιάς.
Σὲ πανείκελον πιφαύσκω
Ἑτάρη ἐμή, μευ ἵππῳ
Σὺν τοῖς εὐτρόχοισι
Φαραῶνος ἁρμάτεσσι.
Ὡραῖαι ἐν λίθοισι
Σέθεν παρειαί εἰσι.
Ὡραῖος ὁ τράχηλος
Ἀφθέντος ἐκ χλιδῶνος.
Περίβλεπτα χρυσία σοι.
Ἄγε τεκτανέμεθ' αὐτοὶ
Πολυποικίλοις καλοῖο
Σὺν ςίγμασ' ἀργυρέοιο.

Ἐκκλη-σία. Ἀναξ ὅταν ςρέφηται
Ἐμοί τε προσφέρηται,
Χάριν ἧς ἔχευεν ὀδμῆς.

Ἡ νάρ-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0016-5

Η νάρδος ἡ ἐμαυτῆς.
Μεῦ πρὸς φιλῆς ἑταίρου·
Σμύρνης μοί ἐστι δεσμὸς,
Ἐμῶν μεταξὺ μαζῶν
Ὁ κεῖνος ἄγχι μίμνων,
Ἐμοίγε καὶ φίλος μου·
Βότρυς τίς ἐστι κύπρου,
Ἐνγαδδὶ ὅς πιείρῃ
Ἐθρέφθη εἰν ἀλωῇ.
Ἰδοὺ σύγ' ἐσσὶ καλὴ, Χρισ.
Καλὴ σύγ' εἶς, ἑταίρη.
Φάη σεῦ ἔαθ' ὅμοια
Οἵοις ἔχει πέλεια.
Ἰδοὺ σύγ' ἐσσὶ καλὸς, Ἐκκλ.
Σύ, μευ ἑταῖρε, τερπνός·
Νῷν εὐθαλὲς τὸ λέκτρον,
Νῷν εὐσταθὲς μέλαθρον,
Κέδρινα οἱ δοκώσεις,
Κυπαρίσσιναι φατνώσεις.

ΚΕΦΑΛ. β.

Ἐγὼ Σαρῶνος ἄνθος.
Ἐγώ ῥόδον φάραγγος.
Κρίνον ἐν μέσῳ ἀκανθῶν, Χρισ.
Φίλη ἐν μέσῳ θυγατρῶν,
Ὡς μηλέα φυεῖσα Ἐκκλ. Ὡς

Κατ' ἀξύλευτα δρυμά.
Τῶν ἀμμέσων καὶ υἱῶν
ὁ φίλος μου ἦν πολεύων.
αὐτοῦ σκιὴν πόθησα·
αὐτοῦ σκιᾶς ἔκυρσα,
ὅφ' ἧ ἐμοῦ θακούσης.
Λάρυγγι καρπὸς ἡδύς.
ὃ καὶ ἐς οἰνοθήκην
ἔμ' ἐσῆγε τὴν γεμοῦσην.
ἀγάπη δ' ἐμοὶ ἐπέστη
εὔθυμα τοῦδε λαίφη.
ἀνάπαυμά μοι λαγήνοις
Δότ', ἀνατροφὴν τε μήλοις.
Κάμνω γὰρ ἀπερσοίστοις
Ἀγάπης ἐγὼ βελέμνοις.
εὐώνυμος μὲν αὐτοῦ
ἐμοὶ ὕπαι καρήνου.
Ἡ δεξιὴ δὲ μέσσην
περιλαμβάνει με ἅδδην.
χρισ. ὁρκίζω ἤδη ἡμᾶς
Ἱερουσαλῆς θύγατρας.
Μαρτύρομαί τε νεβρούς.
ἐλάφους τε τὰς κατ' ἀγρούς.

ἵνα

ἵνα μὴ φίλην ἐγείρειν
τολμᾶτε καὶ ταράττειν,
ἕως κελεύῃ αὐτὴν
τόδε θυμὸς ἐν φρένεσσιν.
ὄψ' ἤδε μευ ὑπάρχει Ἐκκλ.
ἑταίρου. ἰδοὺ μοι ἥκει,
ἥκει ὄρη τε πηδῶν,
καὶ σκιρτέων ἐπ' ὄχθων.
ὀρειδρόμῳ ὅμοιος
δόρκῳ ἐμεῦ ἑταῖρος,
ἢ καὶ θοῶν ἐραστῷ
ἐλάφων ἔγεντο πώλῳ.
ἰδοὺ ἵσταται ἐκεῖνος
ἡμῶν ὄπισθε τείχους.
θυρίδων διὰ σκοπεῖται,
διὰ δικτύων θεᾶται.
ἀποκρίνεται ἑταῖρος
ἐμὸς ἠδέ φησιν οὕτως.
ἄνστα μευ ἐλθ' ἑταίρα, Χριστός.
καλή τε καὶ πελειά,
ἴδε χεῖμα νῦν παρῆλθεν,
λῆξε βροχὴ κ' ἀπῆλθεν.
πέδι' ἄνθεσιν τέθηλε.
οἴνῃ κλάδωσις ἧκε.

καὶ

Καὶ ἡμέων κατ' αἶην
Τρυγὼν ἔηκε φωνήν.
Προβέβληκεν ἄμμιν ὠμοὺς
Συκῆ ἑοὺς ὀλύνθους.
Αἱ ἄμπελοι προέκυψαν,
Ὀδμήνθ' ἑὴν ἔδωκαν.
Ἄνστα, φίλη μου, ἐλθὲ
Καλή μου, ὦ μοι ἐλθέ,
Ὦ ἐν πέτρης κρυφεῖσα
Κοιλώμασιν πελειά;
Ὀρέων τε δυσβάτοισι
Ἐν χηραμοῖς προβῆθι.
Σεῦ ἐμοίγε δεῖξον ὄψιν,
Σεῦ ἀκούτισον τε φωνήν.
Σὺ γὰρ ὄσσαν ἐσσὶ τερπνὸς,
Καὶ ὄψιν εὐπρόσωπος.
Πιάσσατ' ἄμμι μικροὺς
Ἀλώπεκας κακούργους,
Οἳ ἀμπέλους θοοῖσιν
Ἔφθειραν οἷς ὀδοῦσιν.
Ὁ γὰρ ἄμπελος προβάλλει,
Σταφυλῆς τε πρῶτα φαίνει.
Ἐκκλ. Ἐμός ἐστί μου ἑταῖρος,
Αὐτοῦ δ' ἔγωγε πάντως,

Ὃς βόσκεται καλῇσιν
Ἐνὶ ταῖς ῥοδωνιῇσιν,
ἐς ἦμαρ ἂν κοπάσῃ
Ἠδὲ σκίασμα κλινθῇ
Ἀποστραφείς τις οἷα
Δόρκων πέλευ, φιλητὰ,
Ἢ καὶ διαστατοῖσιν
Ὡς νεβρὸς εἰν ὄρεσιν.

ΚΕΦΑΛ. γ.

Νυχίῃ ἐγὼ πόθ᾽ ὥρῃ
ἐμάτευον ἐν μεῦ εὐνῇ,
Ὃν καρδίᾳ ἐφίλουν·
ἐμάτευον, οὐδέ θ᾽ εὗρον.
Ἀναστήσομαι δὲ, κύκλῳ
Πόλιν περισκοπήσω
περίφοιτος ἐν πλατείαις.
Πάσῃσιν ἔν τε ῥύμαις
Διζήσομαί θ᾽ ὅλης ὃν
ἐκ καρδίης ἐφίλουν.
ἐμάτευον. ἦν δὲ φροῦδον
Σπούδασμα· οὐ γὰρ εὗρον.
Εὗρόν με τηρέοντες,
Πόλιν περιτρέχοντες·
Μὴ εἴδετε, φρενῶν ὃν

ἐγὼ

ἐγὼ ἐξ ἐμῶν ἐφίλουν;
Μικρὸν παρῆλθον εὗρον,
Ὃν ἐντόνως ἐφίλουν.
Τοῦτον δ' ἐμοὶ κρατήσω,
οὐδ' ἀκρίτως ἀφήσω,
Ἕως ἔσηγον αὐτὸν
ἐς μητέρος μευ οἶκον,
Μυχαίτατόν τε κεδνῆς
Κοιτῶνά μευ τεκούσης.
Χρις. Ὁρκίζω αὖ τις ἡμᾶς
Σολύμης ἐμῆς θύγατρας.
Μαρτύρομαι τε νεβροὺς
ἐλάφους τε τὰς κατ' ἀγρούς,
ἵνα μὴ φίλην ἐγείρειν
Τολμᾶτε καὶ ταράττειν,
Ἕως ἀνώγῃ αὐτὴν
Τόδε θυμὸς ἐν φρένεσσιν.
Τίς ἐστιν ἐξ ἀγραύλου
Ἀναβᾶσά μοι ἐρήμου,
Λιβάνου καθὼς ὁ ὀρθὸς
Σμύρνης τ' ὄρωρε καπνός,
Κονιοσάλων τε καλῶν,
Τοῦ μυρεπώλου ἄλλων.
Ἐκκλ. Σολομῶντος, ἠνίδ', εὐνὴ
Ὡς εὖ περιησφαλίσθη.

ἐξ

Τριάκοντα δὶς μαχητῶν
ἐξ ἰσραὴλ ἐκύκλουν,
Πάντες ξίφη ἔχοντες,
Τά τε τῶν μαχῶν δαέντες.
Ἀμφὶ δεῖμα νυκτὸς ἄορ
ἐπὶ μηρὸν εἶχεν ἵστωρ.
ἐΰξυλες φορεῖον
Σολομὼν ἄναξ ἔτευχον,
στῦλοι οὖπερ ἀργυρεῖοι μὲν
στέγη δὲ χρυστῆ ἦεν,
καὶ πορφυροῦς ὁ θῶκος.
Λίθοις κέκαστο οὖδος.
Τόδε πᾶν πέλειν δι' ἱερῆς
Σολύμης θύγατρας εἰδῆς.
Χωρεῖτε πᾶσαι ἐκτὸς,
Θύγατρες ὦ Σιῶνος.
Σολομῶντά μοι σκοπεῖτε
Οἵῳ στέφει ἔδησε
Τοῦτον φίλη τεκοῦσα
Ἄνακτα κοσμέουσα,
Διακάρδιον φερούσῃ
Χαρὰν γάμου ἐν ὥρῃ.

ΚΕ-

κδ'6 Ἰδοὺ εὐπρόσωπός ἐσσι,
Φίλη, εὐπρόσωπος εἶ σύ.
Φάη σευ, ὡς πελειῆς
Μέσοισιν ἐν κικίννοις.
Τρίχες, αἶγες αἳ προεῖχον
Γαλααδόρων τὸ κομψόν.
Ὀδόντες, οἷον οἰῶν
Ἀγέλαι κεκαρμενάων,
Ἅμοιροι αἱ μιασμοῦ
ἐκβᾶσαι ἐκ λοετροῦ
Διδύμους φόρουν ἅπασαι,
Ὡς στεῖραν οὐκ ἐῶσαι.
Ὡς σπαρτίον προσηνῆ
Τὸ κόκκινον τὰ χείλη.
Ἡδεῖά σευ ἐς ἄκρον
Λάλησις, ἀλλὰ μῆλον
Λέπυρον καθὼς τὸ ῥοιῆς
ἐν βοστρύχοισιν οὔλοις.
Σεῦ ὄρθιος τράχηλος
Δαυΐδος οἷα πύργος,
ἐς ἔπαλξιν ὅς δέδμηται
κῦδός τ', ἐφ' ὅν κρέμανται
Ὅπλα χίλι' ἀσπίδες τε,

Οἷας

Οἷας φόρουν μάχηται.
Νεβρῶν δυοῖν ἴσω σου
Μασὼ δύ' ἠὲ δόρκου
Διδύμοιιν, ὢ καλοῖσιν
Βόσκεσθον ἐν ῥόδοισιν,
ἐς ἦμαρ ἐξίκηται
Καὶ αἱ σκιαὶ τρέπωνται.
Σμύρνης πρὸς οὖρος ἶφι
Λιβάνου τε βουνὸν εἶμι.
Ὅλη καλὴ σὺ φίλη,
οὐκ ἐν σοί ἐστι λώβη.
Ἴθι δεῦρ' ἐμεῖο νύμφη,
Λιβάνου ὄρος λιποῦσ' ἡ
Λιβανήϊον σὺ πρῶνα
Ἴθι δεῦρό μοι λιποῦσα.
Ἴθι δὴ, ἐμοὶ ἰοῦσα
Κορυφῆς ἀπαὶ Ἀμανά.
Ἴθι, τρηχέων ἀπ' αἰπῶν
Κατάβα Σανεὶρ, καὶ Ἑρμών,
Μάνδραι ὅπου λεόντων,
Θρεπτήριόν τε πάρδων.
Σὺ κέαρ μευ ὤρσας ἐσθλὴ
Νύμφη ἐμεῦ, ἀδελφὴ
Μυχαιτάτας σύγ' ἶνας

Κραδί-

Κραδίης μευ ἐκλόνησας.
Τόδε τῇ μιᾷ ὀπωπῶν,
ἐνὶ τοῦτ' ἔφυ δεραίων,
καὶ γάρ μοι οἶδε κρείσσους
Οἴνοιο πουλυγηθοῦς.
Μύρων τεῶν ὀδωδὴ
Ἄρωμα πᾶν κρατήσει.
Ὡς κηρίοιο νύμφη,
σταλακτά, σευ τὰ χείλη.
γλυκερὸν μέλι γλάγος τε
ὑπὸ σεῖο γλῶσσαν ἔπλε.
στολῶν τεῶν ὀδωδὴ,
Λιβάνου μοι οἷον ὀδμή.
Κεκλεισμένος σύ, νύμφη,
Κῆπός μευ ὦ ἀδελφή.
Κατάκλειστος εἶ λιβὰς σύ,
Κρήνη τε κάρτ' ἐρυμνή.
ἐυβλαστίη σευ αἴης.
παράδεισός ἐστι ῥοιῆς,
Σὺν ἀφθόνοισι καρποῖς
Κιτρίοισιν ἠδὲ κύπρις.
Νάρδον, στάχυν, κρόκον τε
Καλάμου φύτλην ἴδοις κε.
Ἰδὲ κιννάμωμον ἔνθα

Λιβά-

Λιβάνου τε πάντα δένδρα.
ἀλόην τε μύῤῥαν, ἄλλοις
Σὺν ἀρωμάτεσσι πρώτοις.
Κήπων πέλεις σὺ κρουνὸς
Ὕδατος φρέαρ ζάοντος,
Λιβανῆιου ἀπ' οὔρους
Βουνῶν καταῤῥέοντος.
Πνοὴ βορεία ὄρσευ.
Νότε καὶ σύ μοι ἐπέρχευ
ἐμὸν διακλονήσαις
Κῆπον, διελθὲ, αὔραις,
ἀρωμάτων ἵν' ἔρυῃ
Καλῇ ῥέησιν ὀδμῇ.

ΚΕΦΑΛ. ε.

Καὶ ἐλθέτω φίλος μου   Ἐκκλ.
Τὸν κῆπον εἰς ἑαυτοῦ,
ἐρεπτέτω τε καρπὸν
Πολυδένδρεον γλύκιστον.
ἐγὼ εἰς ἐμεῖο κῆπον,
Νύμφη, φίλημευ, ἦλθον   ἐις.
Μύῤῥην δρέπον μὲν αὖθι
Σὺν ἐμοῖς ἀρωμάτεσσι.
Μέλι, κηρίον μευ ἦσθον.
Μέθυ μευ γλάγος τ' ἔπινον

ἐλα-

Ἱλαροὶ μὲν οὖν φάγητε.
Ὑμμες φίλοι, πίητε.
Γεγανωμένοι βέβαιοι,
Μεθύητε, μευ ἑταῖροι.
Ἐκκλ. Ἔγωγε μὲν καθεύδω.
Τὴν καρδίαν δ' ἀγρυπνῶ.
Φωνὴ φίλου μευ ἥδε
Πέλει, ὃς θύρην ἄρασσε.
Ἄνοιγέ, μευ ἑταίρη.
Κάσις, πέλειας, ἐσθλή.
Πλήσθη δρόσου κάρη μου,
Νυχίου κόμη μευ ὄμβρου·
ἐμὸν ἐξέδυσα πέπλον·
Πῶς ἐνδύσωμαι αὐτόν;
ἐνιψάμην τὰ ταρσά.
Καὶ πῶς ῥυπώσω αὐτά;
Διά τῆς ὀπῆς φίλος μου,
Παλάμην ἔβαλλον αὐτοῦ,
Καὶ σπλάγχν' ἐμοίγε δειλῇ
Ὑπαὶ ἁφῆς ταράχθη.
Ἄνστην ἐγὼν, ἑταίρων
Μευ φιλτάτῳ ἀνοίξων
(ἔσταζάτην δὲ πολλὴν
ἐμεῖο χεῖρε μύῤῥην.

Τὴν

Τὴν δάκτυλοι ψέκαζον
ἐπὶ κλειδίοιο μόχλον)
Ἀνέωξα μὲν. Φίλος δὲ
ἀπόνευσε καὶ παρῆλθε
Ψυχή μευ ἐκπορεύθη,
Εἰπὼν ἅτ' αὐτὸς ἔφθη.
Μὶν ἔνθα κ' ἔνθα βαίνων
ἐμάτευον. ἐδ' ἔτετμον.
Γοερῇ κάλεσσα φωνῇ,
καὶ ὅτι μοι ἀμείφθη.
Φυλάκων μὲν ἐσμὸς αἰνῶν
Πόλιν διεστιχόντων
Μὲ μονωμένην ἐφεῦρε
περιπεπλανημένην τε.
Οἱ τοί με σφόδρα τύψαν,
Κακῶς τ' ἐτραυμάτισσαν.
Φύλακες δὲ τειχέων βὰν
Καί μοι κάλυμμ' ἀπῆραν.
Ὀρκίζω οὖν ἁπάσας,
Σολύμης θύγατρες. ὑμᾶς,
εἴ πῃ ἐμεῦ ἑταίρῳ
Κύρσητε εἴπατ' αὐτῷ,
Ὅτ' ἐγὼ βαρεῖ βελέμνῳ
Ἀγάπης τυπεῖσα κάμνω.

 Τί

θυγατέρες ἱερῦσ.

Τίς σευ ἑταῖρ☉ ἄλλων
Ἦν λωΐων ἑταίρων.
Ὦ δῖα τῶν γυναικῶν,
Ὦ ἔξοχε ζακαλλῶν.
Τίς σευ ἑταῖρος ἄλλων
Ἦν βελτίων ἑταίρων;
Ἡμᾶς τόσον σφοδρῦσιν
Ὅτ' ἐξώρκισας λόγοισιν.

Ἐκκλη.

Τελέθει ἐμεῦ ἑταῖρος
Λευκός τε ἠδὲ πυῤῥὸς,
ἀπόλεκτ☉ εἰνὶ πολλοῖς,
ἐνὶ μυρίοισιν ἄλλοις.
Κεφαλὴ φίλοιο χρυσῷ
Ἀτάλαντ☉ ἦν φαεινῷ.
Κόμαι δὲ αὐτῦ ὖλαι,
Κόρακ☉ τρόπον μέλαιναι
Σεῦ ὄμματ', ὡς πελειαί,
πρὸς ῥεῖθρον αἳ λοῦνται,
Φαιδραὶ γαλακτόμορφ☉ι
Χάριτ☉ φάους τε πλήρη.
Τῦ μῆλ' ἀρωμάτων πρῶν
Φύων τὰ τῶν μυρεψῶν.
Χείλη ῥόθ' οἷα, λεκτὴν
ἀποςαλῶντα μύῤῥην,

Χεῖρε χρυσέω, τορευτὼ,
Ὑακινθίδεσσι πλείω.
ἐλέφαντος εὔχος ἐστὶ
Σαπφείρινόν τε γαστήρ:
Κνῆμαι δὲ μαρμορείοις
Ἴκελαι στύλοις βεβαίοις
Ἀδόνητον οἷσι χρυσοῦν
Ὑφίσταται θέμεθλον.
Λιβάνου δὲ, μῆκος αὐτοῦ,
ἐκλεκτὸν οἷα κέδρου.
Φάρυγξ ἔφυ γλυκασμὸς,
Ὅλος δ' ἄγαν ποθητός
οὗτος φίλος μευ, οὗτος,
Σολύμης κόραι, ἑταῖρος.

ΚΕΦΑΛ. ϛ.

Σὲ ποῦ ἀπῆλθ' ὁ φίλων, Θυγατέρες ἱερουσ.
καλλίστη ὦ γυναικῶν;
Ὅδε ποῖ τράπη: μὶν ἄρτι
Διζησόμεσθα σὺν σοί.
κατέβη ἐς εἷο κῆπον,
Ἀρωμάτων τ' ἐς ὄχθον
Φίλος, αὖθι καὶ νέμεσθαι.
ῥόδα, σὺν θ' ἑᾷ λέγεσθαι.
ἐγὼ φίλου, φίλος μου

κξ'ις. ἔχεται, νομὴ ῥοδ' αὐτοῦ.

Καλὴ ἔφυς ἑταίρα

ἐμεῖο, οἷα Θερσά.

Τόσον εὖ ἔχουσα μορφῆς,

Σολύμη ὅσα προσηνής.

ἐχθροῖσι δειματώδης,

Ὡς ἐν μάχῃσι τάξις.

Ἀπέναντί μευ φαειναὶ

Σεῦ ἀποστρέφης ὀπωπαί,

ἐμὸν αἱ γὰρ ἦτορ ἦσιν

Ἀνεπλέρουν βολῆσιν.

αἰγῶν τεαὶ μάλ' ἶσαι

Ἀγέλαις κόμαι χλιδῶσαι.

κεκαρμέναι ταί εἰσι

Γαλαάδ ἐκ οὐρέεσσι.

Ἴκελαι στίχες δ' ὀδόντων

Ποίμνῃ πέλουσι μήλων.

Ἅπερ ἀρρύπαντα λευκοῦ

αἰέ βῆσαν ἐκ λοέτρου,

Διδύμους φοροῦντα πάντα,

ἀκύμον' οὔπον' ὄντα.

καθὰ τῆς ῥοιᾶς νεοχμὸν

Λεπυρὸν τὸ σεῖο μῆλον

Ἣν τερπνότητα μῆλον

Πλοκάμων μεταξὺ φαῖνον.
Δεκάδες μὲν ἐξ κλυτάων
Βασιλισσέων χλιδωσῶν.
Δέκα ὀκτάκις δὲ λαγναὶ
αἱ παλλακαὶ πέλονται.
Νεανίδων δὲ ῥητὸς,
οὐκ ἔστιν ὁ ἀριθμός.
μία δ' ἔστι μου τελεία,
Μία πανταχῇ τελεία.
Μία μητρὶ καὶ φιλίστη,
Λεκτή θ' ἑῇ τεκούσῃ.
Ἴδον ἠδὲ τήνδ' ἀκριβὲς
Μακάρισαν αἱ θύγατρες.
Μὶν αἰνέσαντ' ἀνασσῶν
Χορός τε παλλακάων.
Τίς ἐστιν ἡ φανεῖσῃ,
καθὼς ἕως φαεινή;
Ἡ καὶ μάλ' εὐπρόσωπος,
Σελήνη ὡς εὔχρους·
ἀπόλεκτος οἷα φωτὸς
ταμίας ὁ φοῖβος αὐτός.
Πλὴν ἀλλὰ δειματώδης,
Ὡς ἐκπρεποῦς τάξις.
καρύης ἐγὼ ἐς ἄβρον

κατα-

καταβὰς ἐς ἦα κῆπον,
καταμανθάνειν τε καρποὺς
Πολυδενδρέου φάραγγος.
ἰδεῖν τ' ἐκεῖ, εἰ οἶναι
Ἤνθησαν ἠδὲ ῥοιαί.
οὐκ οἶδα, τὸν δὲ θυμὸν
τὸ θάμβος εἶχε δεινόν,
ὅτ' ἄναξ ἐμὲ προθύμου
Ποίησεν ἅρμα δήμου.
ἀνέλθ', ἀναστράφηθι
Μοὶ δεῦρο, Σουλαμῖτι.
ἀνέλθ' ἀνελθὲ, ὥς κεν
αὖθις σε εἰσορῶμεν.

ΚΕΦΑΛ. ζ.

Τίς ὔμμι Σουλαμῖτις
Δοκεῖ ἡ ἀγλαῶπις;
ἆρ' οὐ πέλει χορός τις
Παρεμβολῶν φέρουσά τις;
Ὡς ἐκπρεπὴς βάσις σου
ἐν σανδάλοις, παῖ δ' ἀρχοῦ;
σεῦ ἰσχίων δὲ ῥυθμοὶ
Πολυδαιδάλοις ὅμοιοι
καθορμίοις, ἃ κλειτοῦ
τέχνηνε χεὶρ τεχνίτου,

σεῦ

σεῦ ὀμφαλὸς, τορευτὸς
κρατὴρ ποτοῖο πλέως.
Γαστὴρ σεῦ, οἷα σωρὸς
σίτου ῥόδοισι φρακτός.
Δύο σεῖο, δορκὸς ἶσοι
Διδύμοις νεβροῖσ', μαζοί.
σέθεν πέλε τράχηλος,
ἐλέφαντος οἷα πύργος.
Ἐσεβὼν παραὶ πύλαις ταῖς
Βαθραββιμ', ὕδατ', ὄψεις.
μυκτὴρ δὲ, πύργος οἷον
Λιβάνου σκοπῶν Δαμασκόν.
ἐπὶ σ' ἦν κάρηνον, οἷα
Κάρμηλος. οὗ τρίχωμα,
Βασιλῆος ὡς ἁλουργίς.
πλύχεσιν δεδεῖσα πολλῆς.
ἀγαπητὴ ἐν τρυφαῖς, ὡς
Ὡραία ὡς σὺ ἔυχρως;
Φοίνικ' ἶσον τὸ μῆκος
σταφυλαῖς διπλοῦς ὁ μαζός.
ἐπιβήσομ', εἶπα, δένδρῳ,
Βαΐων δὲ τῆς κρατήσω.
Ὡς ἀμπέλου γλυκεῖς μοι
Βότρυες πέλωσι μαζοί.

Ῥινῶν δὲ σεῖο ὀδμὴ,
Μήλων καθὼς ἐδωδή.
Ὡς νήδυμος λάρυγξ σευ
Πέλει οἶνος, ὃ φίλος μευ
ἥδιστα ἐμφορεῖται.
Νυσακτικῶς λαλεῖσθαι·

Ἐκκλη. Ἐμός ἐστί μευ ἑταῖρος·
ἐπ' ἐμὲ στραφῆ καὶ αὐτος.
Φίλε δεῦρο, ἰόντες αὐτῶν
ἐπισκοπῶμεν ἀγρὸν,
Τινὰ χρόνον δὲ τερπνῆς
Μίμνωμεν εἰνὶ κώμης
ἐς ἀμπελῶνας, ὥσκεν
ἠῶθεν ἐξίωμεν,
Ἰδόντες, εἰ τέθηλεν
Οἴνη. βότρυν τ' ἔφηνεν.
εἰ ῥοιὰ ἦκεν ἄνθος.
δώσω σοι ἔνθα μαζούς.
ἀνθρωπόμορφα σεμνὴν
ἔδωκεν ἔρνη ὀδμήν.
ἐπὶ καὶ θύρησιν ἡμῶν
Μέγα πλῆθος ἦν ὀπωρῶν.

KE-

ΜΑστὸς ἐμῆς τεκούσης
Ὃς ἐθήλασας, φιλητής.
Ὄφελόν σε ἔξω εὑρεῖν,
Ὄφελόν με δεῖ, σε φιλεῖν.
Καὶ οὔτις, οἶμαι ἔσαι,
ἐμὸ ὅσκεν οὐδενῶσαι.
κομίσαιμ', ἐμῆς τ' ἐς οἶκον
ἀγάγοιμι μητρὸς αὐλόν.
ἐμ' ἐκεῖ ὅπως διδάξῃ.
πολιῷ δ' ἐγὼ ἀμοιβῇ
Μυρεψικοῦ ἀπ' οἴνου,
ἀπὸ καὶ ὀποῦ ῥοῶν μου.
Ἀριστερὰ μὲν αὐτοῦ
Ὕπαι καρήατός μου.
ἡ δεξιὰ δὲ μέσσῃ
Περιέλλαβέν με ἄδδην.
Ὁρκίζω αὖθις ὑμᾶς
Ἱερουσαλῆς θύγατρας,
Ἵνα μὴ φίλην ἐγείρειν
Τολμᾶτε καὶ διοχλεῖν,
Ἕως ἀνώγῃ αὐτὴν
Τέδε θυμὸς ἐν φρένεσσιν.
Τίς αὕτη, ἡ ἀγραύλου

ἀνέβη ἀπαὶ ἐρήμου
εὐθαρτέως τε εἶσ
ἐρείδεται ἑταίρω
ὑπὸ μελέῃ ἔγωγε
Ἔγειρα εὖ κομῶν σε,
Μήτηρ τέκ᾽ ἔνθα σ᾽ ἔνθα
σ᾽ ἐλόχευσεν ἡ τεκοῦσα
σήμαντρον οἷα θές με
ἐπὶ κῆρ βραχίονάς τε
ἀγάπη γὰρ εὖτε μοῖρα
ἀμαχωτάτη κραταιά.
Ζῆλος δὲ δεινὸς ὀξὺς
ἄστρεπτος, ὥσπερ ᾅδης.
τούτου τὸ καῦμα, καῦμα
Πυρόεν, θεοῦ τε φλέγμα
ὕδατ᾽ οὐδὲ τὰ ζαπληθῆ,
ἀγάπην σβέσαι δυναίη.
Θοὰ κύματ᾽ αὐτὰ τόσσον
οὐ συγκλύσειε πυρσόν.
ὑπεὶρ ἔρωτος αἴκε
δοίη ἀνὴρ ὅσ᾽ εἶχε,
παρ᾽ οὐδὲν ὄλβος οἴκου
τιθήσεται ἅπαντος.

Ἐκκλ. Κάσις ἄμμιν ἐστὶ μικρά,

καὶ οὐκ ἔχει τὰ μῆλα.
τί ἡμέων ἀδελφῆ
Ποιῆσωμεν, εὖτ' ἂν ἔλθῃ
ὥ κεδριμός τιν αὐτῇ
ἢ ἠχιως λαληθῇ;
εἰ τεῖχός ἐστ' ἄσειστον, Χριστός.
Ὁλάργυρον μέλαθρον
ἔπι τήνδε δωμάωμεν.
ἀτὰρ εἰ θύρετρον ἦεν
Γομφώσομεν καλαῖς μιν
σανίδεσι κεδρίνῃσιν.
τοῖχός τίς εἰμι μασοὶ Ἐκκλ.
Μεῦ εἴσιν οἷα πύργοι.
τότε τοῦ δ' ἐγὼν ἐτύχθην
Φάεσιν τέτμουσα παύλην.
Σολομῶντι εἰνὶ χώρα
* Βεελαμῶν ἦν ἀλωά. *aliter Πολυπληθίας ἀλ,
παρέδωκε τηρέουσιν
Ὃν ἀμπελῶνα δμωσὶν,
Οἱ ἀργύρειο ῥητὸν
Ἵνα χιλίους τὸν ὦνον
αὐτῷ ἕκαστος ἀνδρῶν
ἐνέγκῃ ἀντὶ καρπῶν.
Ὁ μοῦ ἀμπελοίν μοι αἰεὶ Χρισ.
πρὸ ὀμμάτων, μέλει μοι.

Σο

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0039-6

Ἐκκλη. Σολυμῶν ἄναξ, κρατοῦντι
σοὶ χιλίους φέρουσι,
ἑκατὸν δὶς αὖ φύλαξι,
Γέννημα τηροῦσι.

Χρισ. Καθημένη ἐν ἁβροῖς
Πολυανθέμοισι κήποις,
σπουδαῖά σοι λεγούσῃ
ἐπέχουσι νοῦν ἑταῖροι.
ἄγε δὸς τόσον ποθεινῆς
ἡμᾶς κλύειν σευ αὐδῆς

Ἐκκλ. Φύγε δή, φίλ' ὦ ἐμεῖο,
Κραιπνῷ ὅμοιος ἔσο
Δόρκωνι ἠὲ νεβρῷ
ἐλάφων θοῶν ἐραστῷ,
ἐλαφρᾷ ὃ ἅλλεθ' ὁρμῇ
ἡδυσμάτων ἐπ' ὄρη.

FINIS.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0041-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0042-9

V d 8°
92

129209

ULB Halle 3
006 794 890

VD 17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0043-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0044-0

Anacreon Christianus
Rhythmicus:
*Hoc est,*

# CANTICUM

anticorum Salomonis
ecoAnacreonticoCarmine,
eo qvidemRhythmico tradu-
ctum studio atqve
opera
GEORGII LEU-
HNERI Coldicensis,Scholæ
PatriæModeratoris.
*ANNO*
*M. DC. L.*

LIPSIÆ,
*is Hæredum Timothei Hönii.*

Bibliothek
der Regierung
zu Merseburg

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-569138-p0045-6